καὶ τῶν κατὰ πόλεις καθ' ἡμῶν ψηφισμάτων τἀπίχειρα ἦν· ὅτε καὶ τῆς
χριστιανῶν περὶ πάντα σπουδῆς τε καὶ εὐσεβείας πᾶσιν ἔθνεσι· διά
δηλα κατέστη τὰ τεκμήρια· μόνοι γοῦν ἐν τηλικαύτῃ κακῶν περιστάσει
τὸ συμπαθὲς καὶ φιλάνθρωπον ἔργοις αὐτοῖς ἐπιδεικνύμενοι, δι' ἁπάσης ἡμέρ(ας)
οἱ μὲν τῇ τῶν θνῃσκόντων μυριάδες δ' ἦσαν, οἷς οὔτις ἦν ὁ ἐπιμελη
σόμενος, κηδείᾳ τε καὶ ταφῇ προσεκαρτέρουν· οἱ δὲ, τῶν ἀνὰ πᾶσαν
τὴν πόλιν πρὸς τοῦ λιμοῦ καταπτυχομένων, τὴν πληθὺν ὑπὸ μίαν σύνοψιν
ἀθροίζοντες, ἄρτους διένεμον τοῖς πᾶσιν· ὡς περιβόητον εἰς πάντας
ἀνθρώπους καταστῆναι τὸ πρᾶγμα· θεόν τε τῶν χριστιανῶν δοξάζειν· εὐσεβεῖς
τε καὶ μόνους θεοσεβεῖς, τούτοις ἀληθῶς πρὸς αὐτῶν ἐλεγχθέντας τῶν
πραγμάτων ὁμολογεῖν. ἐφ' οἷς τούτων ἐπιτελουμένων τὸν τρόπον, ὁ μέγιστος
καὶ οὐράνιος χριστιανῶν ὑπέρμαχος θεός· τὴν κατὰ πάντων ἀνθρώπων διὰ τῶν δεδη
λωμένων ἐπιδειξάμενος ἀπειλὴν καὶ ἀγανάκτησιν, ἀνθ' ὧν εἰς ἡμᾶς
ὑπερβαλλόντως ἐνεδείξαντο, τὴν εὐμενῆ καὶ φαιδρὰν τῆς αὐτοῦ περὶ
ἡμᾶς προνοίας αὐγὴν αὖθις ἡμῖν ἀπεδίδου, ὡς ἐν βαθεῖ σκότῳ παρα
δοξότατα φῶς ἡμῖν ἐξ αὐτοῦ καταλάμπον εἰρήνης· ἐκφανές τε τοῖς
πᾶσι καθιστὰς θεὸν αὐτὸν τῶν καθ' ἡμᾶς ἐπίσκοπον διὰ παντὸς γεγονέναι
πραγμάτων· μαστίζοντα μὲν καὶ διὰ τῶν περιστάσεων κατὰ καιροὺς ἐπιστρέφοντα
τὸν αὐτοῦ λαόν· πάλιν τε αὖ μετὰ τὴν αὐτάρκη παιδείαν, ἵλεων καὶ εὐμενῆ
τοῖς εἰς αὐτὸν τὰς ἐλπίδας ἔχουσιν ἀναφαινόμενον. Οὕτω δῆτα Κωνσταν
τῖνον· ὃν βασιλέα ἐκ βασιλέως, εὐσεβῆ τε ἐξ εὐσεβεστάτου καὶ πάντα
σωφρονεστάτου γεγονέναι προειρήκαμεν· Λικίνιόν τε τὸν μετ' αὐτὸν συνέσει
καὶ εὐσεβείᾳ τετιμημένον πρὸς τοῦ παμβασιλέως θεοῦ τε τῶν ὅλων
καὶ σωτῆρος· δύο θεοφιλῶν κατὰ τῶν δύο δυσσεβεστάτων τυράννων ἀνεγη
γερμένων, πολέμου τε νόμῳ παραταξαμένων, θεοῦ συμμαχοῦντος αὐτοῖς
παραδοξότατα, πίπτει μὲν ἐπὶ ῥώμης ὑπὸ Κωνσταντίνῳ Μαξέντιος·
ὁ δὲ κατὰ ἀνατολὴν οὐ πολὺ ἐπιζήσας ἐκείνῳ χρόνον, αἴσχιστα καὶ
αὐτὸς ὑπὸ Λικινίου οὔπω μανέντος τότε καταστρέφει θάνατον·
πρότερος γε μὴν ὁ καὶ τιμῇ καὶ τάξει τῆς βασιλείας πρῶτος Κων
σταντῖνος, τῶν ἐπὶ ῥώμης κατατυραννουμένων φειδὼ λαβών, θεὸν τὸν
οὐράνιον, τόν τε τούτου λόγον, αὐτὸν δὴ τὸν πάντων σωτῆρα Ἰησοῦν Χριστὸν σύμμαχον
δι' εὐχῶν ἐπικαλεσάμενος, πρόεισι πανστρατιᾷ, ῥωμαίοις τὴν ἐκ προ
γόνων ἐλευθερίαν προμνώμενος· Μαξεντίου δῆτα μᾶλλον ταῖς κατὰ γοητείαν
μηχαναῖς ἢ τῇ τῶν ὑπηκόων ἐπιθαρσοῦντος εὐνοίᾳ, προελθεῖν γε μὴν οὐδ' ὅσον